κελλαν, ἀγαπάτωσαν ἄθλιοι, τέτταρας ὀδολοὺς ἀποφέροντες, οἱ δεκαταλάντους δωρεὰς ἀμελητὶ προϊέμενοι.

ΖΕΥΣ. Οὐδὲν ἔτι τοιοῦτον ὁ Τίμων ἐργάσεται περὶ σέ· πάνυ γὰρ αὐτὸν ἡ δίκελλα πεπαιδαγώγηκεν, εἰ μὴ παντάπασιν ἀνάλγητός ἐςι τὴν ὀσφὺν, ὡς χρῆν σε ἀντὶ τῆς Πενίας προαιρεῖσθαι· σὺ μέντοι πάνυ μεμψίμοιρος εἶναί μοι δοκεῖς, ὃς νῦν μὲν τὸν Τίμωνα αἰτιᾷ, διότι σοι τὰς θύρας ἀναπετάσας, ἠφίει περινοστεῖν ἐλευθέρως, οὔτε ἀποκλείων, οὔτε ζηλοτυπῶν· ἄλλοτε δὲ τοὐναντίον ἠγανάκτεις κατὰ τῶν πλουσίων, κατακεκλεῖσθαι λέγων πρὸς αὐτῶν ὑπὸ μοχλοῖς, καὶ κλεισὶ, καὶ σημείων[39] ἐπιδολαῖς· ὡς μηδὲ παρακῦψαι σοι ἐς τὸ φῶς δυνατὸν εἶναι· ταῦτα γοῦν ἀπωδύρου πρός με, ἀποπνίγεσθαι λέγων ἐν πολλῷ τῷ σκότῳ· καὶ διὰ τοῦτο ὠχρὸς[40] ἡμῖν ἐφαίνου, καὶ φροντίδος ἀνάπλεως· συνεσπακὼς τοὺς δακτύλους πρὸς τὸ ἔθος τῶν συλλογισμῶν[41], καὶ ἀποδράσεσθαι ἀπειλῶν, εἰ καιροῦ λάβοιο, παρ' αὐτῶν· καὶ ὅλως, τὸ πρᾶγμα ὑπέρδεινον ἐδόκει σοι, ἐν χαλκῷ ἢ σιδηρῷ θαλάμῳ, καθάπερ τὴν Δανάην, παρθενεύεσθαι ὑπ' ἀκριδέσι καὶ παμπονήροις παιδαγωγοῖς ἀνατρεφόμενον, τῷ Τόκῳ, καὶ τῷ Λογισμῷ[42]. Ἄτοπα γοῦν ποιεῖν ἔφασκες αὐτοὺς, ἐρῶντας μὲν ἐς ὑπερβολὴν, ἐξὸν δὲ ἀπολαύειν, οὐ τολμῶντας, οὐδὲ ἐπ' ἀδείας χρωμένους τῷ ἔρωτι, κυρίους γε ὄντας, ἀλλὰ φυλάττειν ἐγρηγορότας, ἐς τὸ σημεῖον καὶ τὸν μοχλὸν ἀσκαρδαμυκτὶ βλέποντας, ἱκανὴν ἀπόλαυσιν οἰομένους, οὐ τὸ αὐτοὺς ἀπολαύειν ἔχειν[43], ἀλλὰ τὸ μηδενὶ μεταδιδόναι τῆς ἀπολαύσεως, καθάπερ τὴν ἐν τῇ φάτνῃ κύνα, μήτε αὐτὴν ἐσθίουσαν τῶν κριθῶν, μήτε τῷ ἵππῳ πεινῶντι ἐπιτρέπουσαν καὶ προσέτι γε καὶ καταγέλας αὐτῶν φειδομένων, καὶ φυλαττόντων, καὶ τὸ καινότατον, αὐτοὺς ζηλοτυπούντων, ἀγνοούντων δὲ ὡς κατάρατος οἰκέτης, ἢ οἰκονόμος, ἢ παιδοτρίψ ὑπεισιὼν λαθραίως ἐμπαροινήσει, τὸν κακοδαίμονα, καὶ ἀνέραστον δεσπότην, πρὸς ἀμαυρόν τι καὶ μικρόςομον λυχνίδιον, καὶ διψαλέον θρυαλλίδιον ἐπαγρυπνεῖν ἐάσας τοῖς τόκοις. Πῶς οὖν οὐκ ἄδικα ταῦτά σου, πάλαι μὲν ἐκεῖνα αἰτιᾶσθαι, νῦν δὲ τῷ Τίμωνι ἐναντία ἐπικαλεῖν;

ΠΛΟΥΤ. Καὶ μὴν εἴγε τἀληθῆ ἐξετάζοις, ἄμφω σοι εὔλογα δόξω ποιεῖν· τοῦ τε γὰρ Τίμωνος τὸ πάνυ τοῦτο ἀνειμένον, ἀμελὲς καὶ οὐκ εὐνοϊκὸν, ὡς πρὸς ἐμὲ, εἰκότως ἂν δοκοίη· τούς τε αὖ κατάκλειστον ἐν θύραις καὶ σκότῳ φυλάττοντας, ὅπως αὐτοῖς παχύτερος γενοίμην, καὶ πιμελὴς, καὶ ὑπέρογκος ἐπιμελουμένους[44], οὔτε προσαπτομένους αὐτοὺς, οὔτε ἐς τὸ φῶς προάγοντας, ὡς μηδὲ ὀφθείην πρός τινος, ἀνοήτους ἐνόμιζον εἶναι, καὶ ὑβριστὰς, καὶ οὐδὲν ἀδικοῦντά με ὑπὸ τοσούτοις δεσμοῖς κατασήποντας· οὐκ εἰδότας ὡς μετὰ μικρὸν ἀπίασιν ἄλλῳ τινὶ τῶν εὐδαιμόνων με καταλιπόντες. Οὔτ' οὖν ἐκείνους, οὔτε τοὺς πάνυ προχείρους εἰς ἐμὲ τούτους ἐπαινῶ, ἀλλὰ τοὺς, ὅπερ ἄριστόν ἐςι, μέτρον ἐπιθήσοντας τῷ πράγματι, καὶ μήτε ἀφεξομένους τοπαράπαν, μήτε προησομένους[45] τὸ ὅλον.

---

39) Σφραγίδων. 40) Διὰ τὸ κίτρινον χρῶμα τοῦ χρυσίου. 41) Διὰ τὸ ἔθος τοῦ λογαριάζειν μὲ τὰ δάκτυλα. 42) Προσωποποιεῖ τὸ τοκίζειν καὶ λογαριάζειν τὰ χρήματα.
43) Δύνασθαι ἀπολαύειν. 44) Ἐπιμελουμένους ὅπως. 45) Προΐεμαι.